# 177. THE TRIAL BEFORE PILATE (Mk-Lk Identical)

| Mark 15:1-20 | Luke 23:1-25 |
|---|---|
| *Καὶ εὐθὺς πρωι* | |
| *συμβούλιον ποιήσαντες* | |
| *οἱ ἀρχιερεῖς* | |
| *μετὰ τῶν πρεσβυτέρων* | |
| *καὶ γραμματέων* | |
| *καὶ ὅλον τὸ συνέδριον* | *Καὶ ἀναστὰν ἅπαν τὸ πλῆθος αὐτῶν* |
| *δήσαντες τὸν ᾿Ιησοῦν ἀπήνεγκαν* | |
| *καὶ παρέδωκαν* | *ἤγαγον αὐτὸν* |
| *Πιλάτῳ.* | *ἐπὶ τὸν Πιλᾶτον.* |
| | *2 ἤρξαντο δὲ κατηγορεῖν αὐτοῦ λέγοντες, Τοῦτον εὕραμεν διαστρέφοντα τὸ ἔθνος ἡμῶν καὶ κωλύοντα φόρους Καίσαρι διδόναι καὶ λέγοντα ἑαυτὸν Χριστὸν βασιλέα εἶναι.* |
| *2 καὶ ἐπηρώτησεν αὐτὸν* | |
| *ὁ Πιλᾶτος,* | *3 ὁ δὲ Πιλᾶτος* |
| | *ἠρώτησεν αὐτὸν* |
| | *λέγων,* |
| *Σὺ εἶ ὁ βασιλεὺς τῶν ᾿Ιουδαίων* | *Σὺ εἶ ὁ βασιλεὺς τῶν ᾿Ιουδαίων* |
| *ὁ δὲ ἀποκριθεὶς αὐτῷ λέγει,* | *ὁ δὲ ἀποκριθεὶς αὐτῷ ἔφη,* |
| *Σὺ λέγεις.* | *Σὺ λέγεις.* |
| *3 καὶ κατηγόρουν αὐτοῦ* | |
| *οἱ ἀρχιερεῖς πολλά.* | |
| *4 ὁ δὲ Πιλᾶτος πάλιν ἐπηρώτα αὐτὸν λέγων,* | |
| *Οὐκ ἀποκρίνῃ οὐδέν* | |
| *ἴδε πόσα σου κατηγοροῦσιν.* | |
| *5 ὁ δὲ ᾿Ιησοῦς* | |
| *οὐκέτι οὐδὲν ἀπεκρίθη,* | |
| *ὥστε θαυμάζειν* | |
| *τὸν Πιλᾶτον.* | |

*4 ὁ δὲ Πιλᾶτος εἶπεν πρὸς τοὺς
ἀρχιερεῖς καὶ τοὺς ὄχλους, Οὐδὲν
εὑρίσκω αἴτιον ἐν τῷ ἀνθρώπῳ
τούτῳ. 5 οἱ δὲ ἐπίσχυον λέγοντες
ὅτι Ἀνασείει τὸν λαὸν διδάσκων
καθ ὅλης τῆς Ἰουδαίας, καὶ
ἀρξάμενος ἀπὸ τῆς Γαλιλαίας ἕως
ὧδε. 6 Πιλᾶτος δὲ ἀκούσας
ἐπηρώτησεν εἰ ὁ ἄνθρωπος
Γαλιλαῖός ἐστιν· 7 καὶ ἐπιγνοὺς
ὅτι ἐκ τῆς ἐξουσίας Ἡρῴδου ἐστὶν
ἀνέπεμψεν αὐτὸν πρὸς Ἡρῴδην,
ὄντα καὶ αὐτὸν ἐν Ἱεροσολύμοις ἐν
ταύταις ταῖς ἡμέραις. 8 ὁ δὲ
Ἡρῴδης ἰδὼν τὸν Ἰησοῦν ἐχάρη
λίαν, ἦν γὰρ ἐξ ἱκανῶν χρόνων
θέλων ἰδεῖν αὐτὸν διὰ τὸ ἀκούειν
περὶ αὐτοῦ, καὶ ἤλπιζέν τι σημεῖον
ἰδεῖν ὑπ αὐτοῦ γινόμενον. 9
ἐπηρώτα δὲ αὐτὸν ἐν λόγοις
ἱκανοῖς· αὐτὸς δὲ οὐδὲν ἀπεκρίνατο
αὐτῷ. 10 εἱστήκεισαν δὲ οἱ
ἀρχιερεῖς καὶ οἱ γραμματεῖς
εὐτόνως κατηγοροῦντες αὐτοῦ. 11
ἐξουθενήσας δὲ αὐτὸν καὶ ὁ
Ἡρῴδης σὺν τοῖς στρατεύμασιν
αὐτοῦ καὶ ἐμπαίξας περιβαλὼν
ἐσθῆτα λαμπρὰν ἀνέπεμψεν αὐτὸν
τῷ Πιλάτῳ. 12 ἐγένοντο δὲ φίλοι ὅ
τε Ἡρῴδης καὶ ὁ Πιλᾶτος ἐν αὐτῇ
τῇ ἡμέρᾳ μετ ἀλλήλων·
προϋπῆρχον γὰρ ἐν ἔχθρᾳ ὄντες
πρὸς αὐτούς.*

*13 Πιλᾶτος δὲ συγκαλεσάμενος τοὺς
ἀρχιερεῖς καὶ τοὺς ἄρχοντας καὶ
τὸν λαὸν 14 εἶπεν πρὸς αὐτούς,
Προσηνέγκατέ μοι τὸν ἄνθρωπον
τοῦτον ὡς ἀποστρέφοντα τὸν λαόν,
καὶ ἰδοὺ ἐγὼ ἐνώπιον ὑμῶν
ἀνακρίνας οὐθὲν εὗρον ἐν τῷ
ἀνθρώπῳ τούτῳ αἴτιον ὧν
κατηγορεῖτε κατ αὐτοῦ, 15 ἀλλ
οὐδὲ Ἡρῴδης· ἀνέπεμψεν γὰρ
αὐτὸν πρὸς ἡμᾶς· καὶ ἰδοὺ οὐδὲν
ἄξιον θανάτου ἐστὶν πεπραγμένον
αὐτῷ. 16 παιδεύσας οὖν αὐτὸν
ἀπολύσω.*

*6 Κατὰ δὲ ἑορτὴν*

*ἀπέλυεν*

*αὐτοῖς ἕνα δέσμιον ὃν παρητοῦντο.*

*7 ἦν δὲ ὁ λεγόμενος Βαραββᾶς μετὰ
τῶν στασιαστῶν δεδεμένος οἵτινες
ἐν τῇ στάσει φόνον πεποιήκεισαν. 8
καὶ ἀναβὰς ὁ ὄχλος ἤρξατο
αἰτεῖσθαι καθὼς ἐποίει αὐτοῖς.*

| | |
|---|---|
| 9 ὁ δὲ Πιλᾶτος ἀπεκρίθη | |
| αὐτοῖς λέγων, | |
| Θέλετε ἀπολύσω ὑμῖν | |
| τὸν βασιλέα τῶν Ἰουδαίων | |
| 10 ἐγίνωσκεν γὰρ ὅτι διὰ φθόνον | |
| παραδεδώκεισαν αὐτὸν οἱ ἀρχιερεῖς. | |
| 11 οἱ δὲ ἀρχιερεῖς | |
| ἀνέσεισαν τὸν ὄχλον | 18 ἀνέκραγον δὲ παμπληθεὶ |
| | λέγοντες, Αἶρε τοῦτον, |
| ἵνα μᾶλλον τὸν Βαραββᾶν | ἀπόλυσον δὲ ἡμῖν τὸν Βαραββᾶν· |
| ἀπολύσῃ αὐτοῖς. | |
| | 19 ὅστις ἦν διὰ στάσιν τινὰ γενομένην ἐν τῇ πόλει καὶ φόνον βληθεὶς ἐν τῇ φυλακῇ. |
| 12 ὁ δὲ Πιλᾶτος πάλιν ἀποκριθεὶς | 20 πάλιν δὲ ὁ Πιλᾶτος |
| ἔλεγεν αὐτοῖς, | προσεφώνησεν αὐτοῖς, |
| | θέλων ἀπολῦσαι τὸν Ἰησοῦν· |
| Τί οὖν θέλετε ποιήσω ὃν λέγετε | |
| τὸν βασιλέα τῶν Ἰουδαίων | |
| 13 οἱ δὲ πάλιν ἔκραξαν, | 21 οἱ δὲ ἐπεφώνουν λέγοντες, |
| Σταύρωσον αὐτόν. | Σταύρου, σταύρου αὐτόν. |
| 14 ὁ δὲ Πιλᾶτος ἔλεγεν | 22 ὁ δὲ τρίτον εἶπεν |
| αὐτοῖς, | πρὸς αὐτούς, |
| Τί γὰρ ἐποίησεν κακόν | Τί γὰρ κακὸν ἐποίησεν οὗτος |
| | οὐδὲν αἴτιον θανάτου εὗρον |
| | ἐν αὐτῷ· |
| | παιδεύσας οὖν αὐτὸν ἀπολύσω. |
| οἱ δὲ περισσῶς ἔκραξαν, | 23 οἱ δὲ ἐπέκειντο φωναῖς μεγάλαις αἰτούμενοι |
| Σταύρωσον αὐτόν. | αὐτὸν σταυρωθῆναι, |

| | |
|---|---|
| | καὶ κατίσχυον αἱ φωναὶ αὐτῶν. |
| 15 ὁ δὲ Πιλᾶτος | 24 καὶ Πιλᾶτος ἐπέκρινεν |
| | γενέσθαι τὸ αἴτημα αὐτῶν· |
| βουλόμενος τῷ ὄχλῳ τὸ ἱκανὸν ποιῆσαι | |
| ἀπέλυσεν αὐτοῖς | 25 ἀπέλυσεν δὲ |
| τὸν Βαραββᾶν, | τὸν διὰ στάσιν καὶ φόνον |
| | βεβλημένον εἰς φυλακὴν ὃν ᾐτοῦντο, |
| | τὸν δὲ Ἰησοῦν |
| καὶ παρέδωκεν | παρέδωκεν |
| τὸν Ἰησοῦν φραγελλώσας | |
| ἵνα σταυρωθῇ. | τῷ θελήματι αὐτῶν. |
| 16 Οἱ δὲ στρατιῶται | |
| ἀπήγαγον αὐτὸν | |
| ἔσω τῆς αὐλῆς, ὅ ἐστιν | |
| πραιτώριον, | |
| καὶ συγκαλοῦσιν | |
| ὅλην τὴν σπεῖραν. | |
| 17 καὶ ἐνδιδύσκουσιν αὐτὸν | |
| πορφύραν | |
| καὶ περιτιθέασιν αὐτῷ | |
| πλέξαντες | |
| ἀκάνθινον στέφανον· | |
| 18 καὶ ἤρξαντο ἀσπάζεσθαι | |
| αὐτόν, | |
| Χαῖρε, βασιλεῦ τῶν Ἰουδαίων· | |
| 19 καὶ ἔτυπτον | |
| αὐτοῦ τὴν κεφαλὴν καλάμῳ | |
| καὶ ἐνέπτυον αὐτῷ, | |
| καὶ τιθέντες τὰ γόνατα | |
| προσεκύνουν αὐτῷ. | |
| 20 καὶ ὅτε ἐνέπαιξαν αὐτῷ, | |
| ἐξέδυσαν αὐτὸν τὴν πορφύραν | |
| καὶ ἐνέδυσαν αὐτὸν τὰ ἱμάτια αὐτοῦ. | |

*καὶ ἐξάγουσιν αὐτὸν*
*ἵνα σταυρώσουσιν αὐτόν.*

74 matches out of 635 words = 12%